[illegible]

ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΔΒ. καὶ εἰς αὐτὸ ἐνηρμόσθω
τῇ Γ ἴση ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΔΒ. φανερὸν δὴ ὅτι
ὀρθή ἐστιν ἡ ὑπὸ ΑΔΒ γωνία. καὶ ὅτι ἡ ΑΒ τῆς ΑΔ, του-
τέστι τῆς Γ, μεῖζον δύναται τῇ ΔΒ. ὁμοίως δὲ καὶ δύο
δοθεισῶν εὐθειῶν ἡ δυναμένη αὐτὰς εὑρίσκεται οὕτως.
ἔστωσαν αἱ δοθεῖσαι δύο
εὐθεῖαι αἱ ΑΔ, ΔΒ. καὶ δέον
ἔστω εὑρεῖν τὴν δυναμέ-
νην αὐτάς. κείσθω-
σαν γὰρ ὥστε ὀρθὴν
γωνίαν περιέχειν τὴν
ὑπὸ ΑΔ, ΔΒ, καὶ ἐπεζεύ-
χθω ἡ ΑΒ. φανερὸν
πάλιν ὅτι ἡ τὰς ΑΔ, ΔΒ δυναμένη ἐστὶν ἡ ΑΒ :—



ιϛ Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν, δύνηται δὲ ἡ
πρώτη τῆς δευτέρας μεῖζον τῷ ἀπὸ συμμέτρου ἑ-
αυτῇ μήκει, καὶ ἡ τρίτη τῆς τετάρτης μεῖζον δυνή-
σεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καὶ ἐὰν ἡ
πρώτη τῆς δευτέρας μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμ-
μέτρου ἑαυτῇ μήκει, καὶ ἡ τρίτη τῆς τετάρτης μεῖ-
ζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει. ιδ
ἔστωσαν τέσσαρες εὐθεῖαι ἀνάλογον αἱ Α, Β, Γ, Δ. ὡς ἡ
Α πρὸς τὴν Β, οὕτως ἡ Γ πρὸς τὴν Δ. καὶ ἡ Α μὲν τῆς
Β μεῖζον δυνάσθω τῷ ἀπὸ τῆς Ε, ἡ Γ δὲ τῆς Δ
μεῖζον δυνάσθω τῷ ἀπὸ τῆς Ζ. λέγω ὅτι εἴτε σύμ-
μετρός ἐστιν ἡ Α τῇ Ε, σύμμετρός ἐστι καὶ ἡ Γ τῇ Ζ·

ΤΟΥΤΟ ΔΕ ΕΥΡΙΣΚΕΤΑΙ ΕΑΝ ΠΛΑΣω
ΜΕΝ ΔΥΟ ΤΡΙΓωΝΑ ΟΡΘΟΓωΝΙΑ ΡΗΤΑ
ΕΧΟΝΤΑ ΤΑΣ ΠΛΕΥΡΑΣ ΑΝΑΛΟΓΟΝ
[illegible]

ὀρθογώνια



[illegible] ἀριθμῶν· [illegible]

εἴτε ἀσύμμετρός ἐστιν ἡ Α τῇ Ε, ἀσύμμετρός ἐστι καὶ ἡ Γ τῇ Ζ.
ἐπεὶ γάρ ἐστιν ὡς ἡ Α πρὸς τὴν Β, οὕτως ἡ Γ πρὸς τὴν Δ,
ἔστιν ἄρα καὶ ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β, οὕτως
τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς Δ. ἀλλὰ τῷ μὲν ἀπὸ
τῆς Α ἴσα ἐστὶ τὰ ἀπὸ τῶν Ε, Β, τῷ δὲ ἀπὸ τῆς Γ
ἴσα τὰ ἀπὸ τῶν Δ, Ζ. ἔστιν ἄρα ὡς τὰ ἀπὸ τῶν Ε, Β πρὸς τὸ
ἀπὸ τῆς Β, οὕτως τὰ ἀπὸ τῶν Δ, Ζ πρὸς τὸ
ἀπὸ τῆς Δ. διελόντι ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς Ε πρὸς τὸ ἀ-
πὸ τῆς Β, οὕτως τὸ ἀπὸ τῆς Ζ πρὸς τὸ ἀπὸ τῆς Δ.
ἔστιν ἄρα καὶ ὡς ἡ Ε πρὸς τὴν Β, οὕτως ἡ Ζ πρὸς τὴν Δ.
ἀνάπαλιν ἄρα ἐστὶν ὡς ἡ Β
πρὸς τὴν Ε, οὕτως ἡ Δ πρὸς
τὴν Ζ. ἔστιν δὲ καὶ ὡς ἡ Α πρὸς
τὴν Β, οὕτως ἡ Γ πρὸς τὴν Δ.
δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ Α πρὸς
τὴν Ε, οὕτως ἡ Γ πρὸς τὴν Ζ.
εἴτε οὖν σύμμετρός ἐστιν ἡ Α
τῇ Ε, σύμμετρός ἐστι καὶ ἡ Γ
τῇ Ζ· εἴτε ἀσύμμετρός ἐστιν
ἡ Α τῇ Ε, ἀσύμμετρός ἐστι
καὶ ἡ Γ τῇ Ζ. ἐὰν ἄρα καὶ τὰ ἑξῆς :—



ιζ Ἐὰν δύο μεγέθη σύμμετρα συντεθῇ, καὶ τὸ ὅλον ἑκατέ-
ρῳ αὐτῶν σύμμετρον ἔσται· κἂν τὸ ὅλον ἑνὶ αὐτῶν σύμ-
μετρον ᾖ, καὶ τὰ ἐξ ἀρχῆς μεγέθη σύμμετρα ἔσται. συγ-
κείσθωσαν γὰρ δύο μεγέθη σύμμετρα τὰ ΑΒ, ΒΓ. λέ-
γω ὅτι καὶ ὅλον τὸ ΑΓ ἑκατέρῳ τῶν ΑΒ, ΒΓ ἐστὶ σύμμετρον. ιε

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo